χαρίεν φυτόν τε Μουσῶν.
γλυκὺ καὶ πονοῦντ᾽ ἀγείρειν
ἐν ἀκανθίναις ἀταρποῖς,
γλυκὺ δ᾽ αὖ λαβόντα θάλπειν
μαλακαῖσι χερσί, κοῦφον
προάγοντ᾽ ἔρωτος ἄνθος.
ἀπορῶ τόδ᾽ αὖ, τί τερπνὸν
θαλίαις τε καὶ τραπέζαις
Διονυσίαις τ᾽ ἑορταῖς
δίχα τοῦ ῥόδου γένοιτ᾽ ἄν.
ῥοδοδάκτυλος μὲν Ἠώς,
ῥοδοπήχεες δὲ Νύμφαι,
ῥοδόχρους δὲ κἀφροδίτα
παρὰ τῶν σοφῶν καλεῖται.
τόδε καὶ νοσοῦσιν ἀρκεῖ,
τόδε καὶ νεκροῖς ἀμύνει,
τόδε καὶ χρόνον βιᾶται·
χαρίεν ῥόδων δὲ γῆρας
νεότητος ἔσχεν ὀδμήν.
φέρε δή, φύσιν λέγωμεν·
χαροπῆς ὅτ᾽ ἐκ θαλάττης
δεδροσωμένην Κυθήρην